TEZAUR LITURGIC

16 AUGUST

# SLUJBA SF.MUCENIC APOSTOL DE LA CONSTANTINOPOL



ATENA,2010


ΑΠΟΣΤΟΛΙΚΗ ΔΙΑΚΟΝΙΑ
ΤΗΣ ΕΚΚΛΗΣΙΑΣ ΤΗΣ ΕΛΛΑΔΟΣ

# 16 ΑΥΓΟΥΣΤΟΣ
# ΑΠΟΣΤΟΛΟΣ
# ΝΕΟΜΑΡΤΥΣ ΠΗΛΙΟΥ

## ΜΕΓΑΣ ΕΣΠΕΡΙΝΟΣ

Μετὰ τὸν προοιμιακόν, τὸ *Μακάριος ἀνήρ.* Εἰς δὲ τὸ *Κύριε ἐκέκραξα*ἱστῶμεν στίχους στ΄ καὶ ψάλλομεν στιχηρὰ τῆς ἑορτῆς τῆς Θεοτόκου γ΄.
Ἦχος δ΄. Ἔδωκας σημείωσιν·

Οὐχ ἅρμα πυρίμορφον, τῶν ἀπὸ γῆς σε μετέστησεν, ὡς Ἠλίαν τὸν δίκαιον, ἀλλ' αὐτὸς ὁ ἥλιος τῆς δικαιοσύνης, ἐν χερσὶν οἰκείαις, τὴν παναγίαν σου ψυχήν, ὡς ὑπεράμωμον προσλαβόμενος, ἐν ἑαυτῷ κατέπαυσε, καὶ παραδόξως σε ἄχραντε, μεταστήσας ἐτίμησεν ἐν χαρᾷ ὑπὲρ ἔννοιαν.

Δεῦτε ὢ φιλέορτοι, τῆς Θεομήτορος σήμερον, τὴν ἁγίαν Μετάστασιν, φαιδρῶς ἀνυμνήσωμεν, ἐν χερσί, γὰρ ὄντως, τοῦ ἐξ ἀκηράτου Πατρὸς ἐκλάμψαντος τὸ πρίν, καὶ ἐπ' ἐσχάτων ἐκ τῆς νηδύος αὐτῆς, τὴν θείαν καὶ πανάχραντον, ψυχὴν παρέθε χαίρουσα, Ἰησοῦ τοῦ Θεοῦ ἡμῶν, καὶ πρεσβεύει σωθῆναι ἡμᾶς.

Θαῦμα φρικωδέστατον, ἡ ἐν γαστρὶ τὸν ἀχώρητον, βασιλέα βαστάσασα, τάφῳ κατατίθεται, καὶ ἀγγέλων δῆμοι, σὺν τοῖς ἀποστόλοις, φόβῳ κηδεύουσιν αὐτήν, τὸ θεοδόχον σῶμα καὶ τίμιον, καὶ τοῦτο δὲ μετάστασιν, εἰς οὐρανοὺς ἀνεβίβασεν, Ἰησοῦς ὁ Υἱὸς αὐτῆς, καὶ Σωτὴρ τῶν ψυχῶν ἡμῶν.

*Καὶ γ’ τοῦ Ἁγίου. Ἦχος α’. Πανεύφημοι Μάρτυρες.*

Χριστῷ τῷ Θεῷ καὶ Βασιλεῖ, τῶν ἁπάντων ᾄσμασι, πιστῶς ἐκ πόθου λατρεύομεν, νῦν ἀνακράζοντες· Θεὲ τῶν ἁπάντων, λιταῖς τοῦ Σοῦ Μάρτυρος, Σοὺς δούλους ἐκ κινδύνων ἀπάλλαξον, καὶ Βασιλείας Σου, τῆς ἐνθέου καταξίωσον, ὡς οἰκτίρμων καὶ μόνος φιλάνθρωπος.

Ἀγγέλων στρατεύματα λαμπρῶς, Μάρτυς σὲ ἐδέξαντο, ἐν οὐρανίοις σκηνώμασιν, αἰνοῦντα ἔνδοξε, Θεὸν τὸν ἐν δόξῃ, στέψαντά σε πάντιμε, στεφάνῳ τῆς ἀθλήσεως λάμποντα, ῥοαῖς αἱμάτων σου, ὦ Ἀπόστολε πανάριστε, ὑπὲρ πάντων τὸν Θεὸν ἱκέτευε.

Πατρίς σου πανένδοξε φαιδρῶς, ἐκτελεῖ Ἀπόστολε, τὴν ἱεράν σου πανήγυριν, καὶ πόθῳ κράζει σε, Μάρτυς τοῦ Κυρίου, τὸν λαόν σου τάχιστα, ἐπηρειῶν παντοίων ἀπάλλαξον, ταῖς πρὸς τὸν Κύριον, ἱκεσίαις σου ἀοίδιμε, ἵνα πίστει τιμῶμέν σε Ἅγιε.

*Δόξα. Ἦχος α΄.*

Τὸν νοερὸν ἀδάμαντα τῆς καρτερίας οἱ πιστοί, Ἀπόστολον τὸν ἔνδοξον, ἐν τῷ σεπτῷ αὐτοῦ συναθροισθέντες τεμένει, εὐσεβῶς μακαρίσωμεν. Χαίροις, ἀναβοῶντες, Ἀθλητὰ θαυμάσιε, ὁ τὴν κάραν τοῦ δυσμενοῦς καὶ ἀοράτου δράκοντος, γενναίως συνθλάσας καὶ τοὺς αὐτοῦ θεράποντας ἀσεβεῖς, εἰς τέλος κατῄσχυνας. Χαίροις, Θετταλίας τὸ καύχημα, καὶ τῆς ἐνεγκούσης σε σεμνολόγημα. Ἐκτενῶς ἱκέτευε τὴν Ἁγίαν Τριάδα, ὑπὲρ τῶν πίστει ἐκτελοῦντων, τὴν μακαρίαν σου ἄθλησιν.

*Καὶ νῦν. Τῆς Ἑορτῆς.*

Ἔπρεπε τοῖς αὐτόπταις τοῦ Λόγου καὶ ὑπηρέταις, καὶ τῆς κατὰ σάρκα Μητρὸς αὐτοῦ, την Κοίμησιν ἐποπτεῦσαι, τελευταῖον οὖσαν ἐπ' αὐτὴ μυστήριον, ἵνα μὴ μόνον τὴν ἀπὸ γῆς τοῦ Σωτῆρος ἀνάβασιν θεάσωνται, ἀλλὰ καὶ τῆς Τεκούσης αὐτὸν τῇ μεταθέσει μαρτυρήσωσι. Διόπερ πάντοθεν, θείᾳ δυνάμει περαιωθέντες, τὴν Σιὼν κατελάμβανον, καὶ πρὸς οὐρανὸν ἐπειγομένην, προέπεμπον τὴν ἀνωτέραν τῶν Χερουβίμ, ἣν καὶ ἡμεῖς, σὺν αὐτοῖς προσκυνοῦμεν, ὡς πρεσβεύουσαν ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

*Εἴσοδος. Φῶς ἱλαρόν. Προκείμενου τῆς ἡμέρας. Ἀναγνώσματα.*

*Προφητείας Ἡσαΐου τὸ ἀνάγνωσμα (Κεφ. ΜΓ΄ 9-14)*

Τάδε λέγει Κύριος· πάντα τὰ ἔθνη συνήχθησαν ἅμα, καὶ συναχθήσονται ἄρχοντες ἐξ αὐτῶν. τίς ἀναγγελεῖ ταῦτα; ἢ τὰ ἐξ ἀρχῆς τίς ἀναγγελεῖ ὑμῖν; ἀγαγέτωσαν τοὺς μάρτυρας αὐτῶν καὶ δικαιωθήτωσαν καὶ εἰπάτωσαν ἀληθῆ. Γίνεσθέ μοι μάρτυρες, καὶ ἐγὼ μάρτυς, λέγει Κύριος ὁ Θεός, καὶ ὁ παῖς μου, ὃν ἐξελεξάμην, ἵνα γνῶτε καὶ πιστεύσητε καὶ συνῆτε ὅτι ἐγώ εἰμι. ἔμπροσθέν μου οὐκ ἐγένετο ἄλλος Θεὸς καὶ μετ᾿ ἐμὲ οὐκ ἔσται. Ἐγὼ ὁ Θεός, καὶ οὐκ ἔστι πάρεξ ἐμοῦ ὁ σῴζων. Ἐγὼ ἀνήγγειλα καὶ ἔσωσα, ὠνείδισα καὶ οὐκ ἦν ἐν ὑμῖν ἀλλότριος. ὑμεῖς ἐμοὶ μάρτυρες καὶ ἐγὼ Κύριος ὁ Θεός. Ἔτι ἀπ᾿ ἀρχῆς καὶ οὐκ ἔστιν ὁ ἐκ τῶν χειρῶν μου ἐξαιρούμενος· ποιήσω, καὶ τίς

ἀποστρέψει αὐτό; Οὕτως λέγει Κύριος ὁ Θεὸς ὁ λυτρούμενος ὑμᾶς, ὁ ἅγιος τοῦ Ἰσραήλ.

*Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα. (Κεφ. γ' 1)*

Δικαίων ψυχαὶ ἐν χειρὶ Θεοῦ, καὶ οὐ μὴ ἅψηται αὐτῶν βάσανος. Ἔδοξαν ἐν ὀφθαλμοῖς ἀφρόνων τεθνάναι, καὶ ἐλογίσθη κάκωσις ἡ ἔξοδος αὐτῶν, καὶ ἡ ἀφ' ἡμῶν πορεία σύντριμμα· οἱ δέ εἰσιν ἐν εἰρήνῃ. Καί γὰρ ἐν ὄψει ἀνθρώπων ἐὰν κολασθῶσιν, ἡ ἐλπὶς αὐτῶν ἀθανασίας πλήρης. Καὶ ὀλίγα παιδευθέντες, μεγάλα εὐεργετηθήσονται· ὅτι ὁ Θεὸς ἐπείρασεν αὐτούς, καὶ εὗρεν αὐτοὺς ἀξίους ἑαυτοῦ. Ὡς χρυσὸν ἐν χωνευτηρίῳ ἐδοκίμασεν αὐτούς, καὶ ὡς ὁλοκάρπωμα θυσίας προσεδέξατο αὐτούς. Καὶ ἐν καιρῷ ἐπισκοπῆς αὐτῶν ἀναλάμψουσι, καὶ ὡς σπινθῆρες ἐν καλάμῃ διαδραμοῦνται. Κρινοῦσιν ἔθνη, καὶ κρατήσουσι λαῶν, καὶ βασιλεύσει αὐτῶν Κύριος εἰς τοὺς αἰῶνας. Οἱ πεποιθότες ἐπ' αὐτόν, συνήσουσιν ἀλήθειαν, καὶ οἱ πιστοὶ ἐν ἀγάπῃ προσμενοῦσιν αὐτῷ· ὅτι χάρις καί ἔλεος ἐν τοῖς ὁσίοις αὐτοῦ καὶ ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ.

*Σοφίας Σολομῶντος τὸ ἀνάγνωσμα. (Κεφ. ζ'.7)*

Δίκαιος, ἐὰν φθάσῃ τελευτῆσαι, ἐν ἀναπαύσει ἔσται. Γῆρας γὰρ τίμιον οὐ τὸ πολυχρόνιον, οὐδὲ ἀριθμῷ ἐτῶν μεμέτρηται. Πολιὰ δέ ἐστι φρόνησις ἀνθρώποις, καὶ ἡλικία γήρως βίος ἀκηλίδωτος. Εὐάρεστος Θεῷ γενόμενος, ἠγαπήθη· καὶ ζῶν μεταξὺ ἁμαρτωλῶν,

μετετέθη. Ἡρπάγη, μὴ κακία ἀλλάξῃ σύνεσιν αὐτοῦ, ἢ δόλος ἀπατήσῃ ψυχὴν αὐτοῦ· βασκανία γὰρ φαυλότητος ἀμαυροῖ τὰ καλά, καὶ ῥεμβασμὸς ἐπιθυμίας μεταλλεύει νοῦν ἄκακον. Τελειωθεὶς ἐν ὀλίγῳ, ἐπλήρωσε χρόνους μακρούς· ἀρεστὴ γὰρ ἦν Κυρίῳ ἡ ψυχὴ αὐτοῦ· διὰ τοῦτο ἔσπευσεν ἐκ μέσου πονηρίας. Οἱ δὲ λαοὶ ἰδόντες καὶ μὴ νοήσαντες, μηδὲ θέντες ἐπὶ διανοίᾳ τὸ τοιοῦτον, ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς ὁσίοις αὐτοῦ, καὶ ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ.

*Λιτή. Ἦχος α΄.*

Πανένδοξε Μάρτυς Ἀπόστολε ἀοίδιμε, ἀδελφικῇ συνδούμενος στοργῇ, εἰς πόλιν ὑπάρχων βασιλεύουσαν. Ἐξελέσθαι ποθῶν συμπολίτας τοὺς σούς, τῆς τῶν δυσμενῶν δυσφορωτάτης κακώσεως, ἔνθα μαρτυρικοῦ ἠξιώθης τέλους, Ἀπόστολε παμμακάριστε. Διὸ παῤῥησίαν πρὸς Κύριον κεκτημένος, πρέσβευε ὑπὲρ αῶν ψυχῶν ἡμῶν.

Ἡ κώμη τοῦ ἱεροῦ Λαυρεντίου ἐν γῇ σε ἐβλάστησεν, ἡ πόλις δὲ ἡ οὐράνιος παμφαῶς σε προσήκατο, τῷ κάλλει καταυγασθέντα τῆς ἀθλήσεως. Ἐν οὐρανοῖς οὖν μετὰ τῶν Ἀσωμάτων συναγαλλόμενος, πρέσβευε ὑπὲρ εἰρήνης τοῦ κόσμου, καὶ σωτηρίας τῶν ψυχῶν ἡμῶν.

Πᾶσα πνοή, τὴν παναγίαν πιστῶς ὑμνήσατε Τριάδα, ἐν κόσμῳ ἡμῖν τὸν πανένδοξον ἀναδείξασαν Μάρτυρα, Ἀπόστολον τὸν ἀοίδιμον, ἐκτενῶς πρεσβεύοντα ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

*Δόξα. Ἦχος β΄.*

Ἀγαλλιάσθω ὁ οὐρανὸς σήμερον, καὶ ἡ γῆ σκιρτάτω ἐν εὐφροσύνῃ, ἐπὶ τῇ παμφαεῖ τοῦ Ἀθλοφόρου ἑορτῇ Ἀποστόλου τοῦ γενναιόφρονος. Τὴν τῶν δυσμενῶν γὰρ καταπαλαίσας ὀφρύν, παῤῥησίᾳ τὸν Χριστὸν ἀληθῆ ἀνεκήρυξε Θεόν, ὑπὲρ οὗ θανεῖν ὁλοψύχως εἵλετο. Σὺν Αὐτῷ οὖν ἐν οὐρανοῖς βασιλεύων, πρεσβεύει ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

*Καὶ νῦν. Τῆς Ἑορτῆς.*

Ἡ τῶν οὐρανῶν ὑψηλοτέρα ὑπάρχουσα, καὶ τῶν Χερουβὶμ ἐνδοξοτέρα, καὶ πάσης κτίσεως τιμιωτέρα, ἡ δι' ὑπερβάλλουσαν καθαρότητα, τῆς ἀϊδίου οὐσίας δοχεῖον γεγενημένη, ἐν ταῖς τοῦ Υἱοῦ χερσί, σήμερον τὴν παναγίαν παρατίθεται ψυχήν, καὶ σὺν αὐτῇ πληροῦται τὰ σύμπαντα χαρᾶς, καὶ ἡμῖν δωρεῖται τὸ μέγα ἔλεος.

*Εἰς τὸν Στίχον. Ἦχος δ'. Ἔδωκας σημείωσιν.*

Λάμψας ἀπαυγάσμασι, τοῦ μαρτυρίου πανόλβιε, τοὺς πιστοὺς κατηγλάϊσας, Ἀπόστολε ἔνδοξε· διὸ φωτισθέντες, ἐν ἀγαλλιάσει, μνήμην τὴν σὴν πανευσεβῶς, ἐπιτελοῦντες πίστει κραυγάζομεν· κινδύνων ἡμᾶς λύτρωσαι, καὶ τῆς πανώλους κακώσεως, ταῖς πρὸς Κύριον Ἅγιε, ἱκεσίαις σου τάχυνον.

Στ.: *Δίκαιος ὡς φοῖνιξ ἀνθήσει καὶ ὡσεὶ κέδρος ἡ ἐν τῷ Λιβάνῳ πληθυνθήσεται.*

Ὄλβον ὡς ἀκένωτον, πατρὶς τιμίας σου ἔνδοξε, τὴν σὴν κάραν πλουτίσασα, ἐλαύνει πανένδοξε, δι' αὐτῆς

τὰς νόσους, καὶ τὰς ἐναντίας, τῶν δυσμενῶν ἐπιφοράς, καὶ εὐφροσύνως κράζει σοι Ἅγιε· Σὺ πέλεις μοι ἀντίληψις, εὔκλεια πλοῦτος καὶ καύχημα, καὶ ταῖς θείαις Ἀπόστολε, ἱκεσίαις σου σώζομαι.

Στ.: *Πεφυτευμένος ἐν τῷ οἴκῳ Κυρίου, ἐν ταῖς αὐλαῖς τοῦ Θεοῦ ἡμῶν ἐξανθήσει.*

Πᾶσαν καταβέβληκας, τῶν δυσμενῶν ματαιότητα, ἐναθλήσας στεῤῥότατα, Ἀπόστολε ἔνδοξε· διὸ καὶ ἐβόας· οὐδείς με χωρίσει, Χριστοῦ ἀγάπης τῆς στεῤῥᾶς, οὐ πῦρ οὐ ξίφος οὔτε ὁ θάνατος. Ἑκὼν γὰρ σφαγιάζομαι, ὑπὲρ Χριστοῦ τοῦ Θεοῦ ἡμῶν, Ὃν ἀεὶ καθικέτευε, ὑπὲρ πάντων ἀείμνηστε.

*Δόξα. Ἦχος γ΄.*

Πάντα τῆς γῆς τὰ πέρατα σήμερον, ἡ κώμη τοῦ ἱεροῦ Λαυρεντίου συγκαλεῖται χαίρουσα. Εὐῶδες γὰρ βλαστήσασα ἄνθος, τοὺς πιστοὺς εὐωδίασε, καρπὸς εὐκλεὴς διὰ τοῦ μαρτυρίου γεγονώς, ἀποθήκαις ἐντεθησαύρισται ταῖς ἐπουρανίαις, Ἀπόστολος ὁ ἀξιάγαστος. Ἀλλὰ καὶ νῦν, τὴν σεβάσμιον αὐτοῦ κάραν ἀπολαῦσαι ἀξιωθεῖσα, γεραίρει αἰτουμένη τὸν ἐν οὐρανοῖς συναγαλλόμενον ἀγγελικαῖς χοροστασίαις, πρεσβεύειν ὑπὲρ ἡμῶν τῶν ἐν πίστει ἐκτελούντων, τὴν ἱερὰν αὐτοῦ καὶ φωτοφόρον πανήγυριν.

*Καὶ νῦν. Τῆς ἑορτῆς.*

Δεῦτε ἅπαντα τὰ πέρατα τῆς γῆς, τὴν σεπτὴν Μετάστασιν τῆς Θεομήτορος μακαρίσωμεν· ἐν χερσὶ γὰρ τοῦ Υἱοῦ, τὴν ψυχὴν τὴν ἄμωμον ἐναπέθετο· ὅθεν τῇ Ἁγίᾳ Κοιμήσει αὐτῆς, ὁ κόσμος ἀνεζωοποιήθη,

ψαλμοῖς καὶ ὕμνοις, καὶ ᾠδαῖς πνευματικαῖς μετὰ τῶν Ἀσωμάτων, καὶ τῶν Ἀποστόλων ἑορτάζων φαιδρῶς.

*Νῦν ἀπολύεις. Τρισάγιον.*

*Ἀπολυτίκιον Ἦχος γ’. Θείας πίστεως.*

Θεῖον βλάστημα τῆς Θεσσαλίας, νέον καύχημα τῆς Ἐκκλησίας, ἀνεδείχθης Νεομάρτυς Ἀπόστολε, ὑπὲρ Χριστοῦ γὰρ ἀθλήσας στεῤῥότατα, τῆς εὐσέβειας τὴν δόξαν ἐτράνωσας. Ἄλλα πρέσβευε Κυρίω τῷ Σὲ δοξάσαντι, δωρήσασθαι ἤμιν τὸ μέγα ἔλεος.

*Δόξα. Καὶ νῦν. Ἀπολυτίκιον τῆς Ἑορτῆς Ἦχος α'*

Ἐν τῇ Γεννήσει τὴν παρθενίαν ἐφύλαξας, ἐν τῇ Κοιμήσει τὸν κόσμον οὐ κατέλιπες Θεοτόκε. Μετέστης πρὸς τὴν ζωήν, μήτηρ ὑπάρχουσα τῆς ζωῆς, καὶ ταῖς πρεσβείαις ταῖς σαῖς λυτρουμένη, ἐκ θανάτου τὰς ψυχὰς ἡμῶν.

*Ἀπόλυσις.*

## ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

*Μετὰ τὴν α’ Στιχολογίαν,*

*Κάθισμα. Ἦχος α’. Τὸν τάφον Σου Σωτήρ.*

Ἀπόστολε Χριστοῦ, Ἀθλητῶν ὡραιότης, ὑπήνεγκας στεῤῥῶς, αἰκισμοὺς καὶ κακώσεις, εἱρκτάς τε καὶ θάνατον, εὐφροσύνως ἀείμνηστε, πᾶσαν ἔφοδον, ὑπὲρ Χριστοῦ τῆς ἀγάπης· ὅθεν σήμερον, τὴν μακαρίαν σου μνήμην, τελοῦμεν ἐν ᾄσμασι.

*Δόξα. Καὶ νῦν. Τῆς Ἑορτῆς.*

Ὁ πάντιμος χορός, τῶν σοφῶν Ἀποστόλων, ἠθροίσθη θαυμαστῶς, τοῦ κηδεῦσαι ἐνδόξως, τὸ σῶμά σου τὸ ἄχραντον, Θεοτόκε Πανύμνητε, οἷς συνύμνησαν, καὶ τῶν Ἀγγέλων τὰ πλήθη, τὴν Μετάστασιν, τὴν σὴν σεπτῶς εὐφημοῦντες, ἣν πίστει ἑορτάζομεν.

*Μετὰ τὴν β' Στιχολογίαν,*
*Κάθισμα. Ἦχος δ'. Κατεπλάγη Ἰωσήφ.*

Ἐν σταδίῳ τὸν Χριστόν, ὁμολογήσας ἐμφανῶς, κατεπάλαισας στεῤῥῶς, πᾶσαν ὀφρὺν τῶν δυσμενῶν, καταθελγόντων ἀφάτῳ μηχανουργίᾳ, εἴθ' οὕτως ἀκλινές, τὸ πρὸς Κύριον, ὁρῶντές σου εὐθύς, πρὸς τὴν δριμύτητα, τιμωριῶν ἐτράπησαν καὶ φόνον, ἃ ὡς οὐδὲν ἡγησάμενος, Μάρτυς ὡράθης, τῆς ἀληθείας, ὦ Ἀπόστολε ἔνδοξε.

*Δόξα. Καὶ νῦν. Τῆς Ἑορτῆς.*

Ἀναβόησον Δαυΐδ, τὶς ἡ παροῦσα Ἑορτή; Ἣν ἀνύμνησα φησίν, ἐν τῷ βιβλίῳ τῶν Ψαλμῶν, ὡς θυγατέρα θεόπαιδα καὶ Παρθένον, μετέστησεν αὐτήν, πρὸς τὰς ἐκεῖθεν μονάς, Χριστὸς ὁ ἐξ αὐτῆς, ἄνευ σπορᾶς γεννηθείς· καὶ διὰ τοῦτο χαίρουσι, μητέρες καὶ θυγατέρες καὶ νύμφαι Χριστοῦ, βοῶσαι· Χαῖρε, ἡ μεταστᾶσα πρὸς τὰ ἄνω βασίλεια.

*Μετὰ τὸν Πολυέλεον,*

*Κάθισμα. Ἦχος πλ. δ'. Τὸ προσταχθὲν μυστικῶς.*

Καταβαλὼν τῶν ἐναντίων τὰς ἐπάρσεις, εὐσεβεστάτῃ τοῦ Χριστοῦ ὁμολογίᾳ, τὴν ὀφρὺν τῶν τυράννων γενναίως καθεῖλες, μανίαν τε τῶν ἀθέων ἀγαρηνῶν, ἀθλήσας ὑπὲρ τῆς πίστεως ἀνδρικῶς, ὦ Ἀπόστολε ἔνδοξε· δι' ὃ καὶ πόθῳ τὴν σήν, τελοῦμεν νῦν πανήγυριν, ἀνυμνοῦντες τὸν Κύριον.

*Δόξα. Καὶ νῦν. Τῆς Ἑορτῆς.*

Παρθενομῆτορ Μαριὰμ εὐλογημένη, δοξολογοῦντές σε πιστῶς ἅπαντες Κόρη, τῆς κακίας λυτροῦται τοῦ ἀνθρωποκτόνου, καὶ πάσης κακεντρεχείας τῶν δυσμενῶν, χαρίτων καταξιοῦνται τῶν παρὰ σοῦ, Παναγία Θεόνυμε, εὐχαριστίας σοι ᾠδάς, προσάγοντες πανάχραντε, ἀνυμνοῦντες τὸν τόκον σου.

Εἶτα, οἱ Ἀναβαθμοί· τὸ α' Ἀντίφωνον τοῦ δ' ἤχου.

Προκείμενον: *Δίκαιος ὡς φοῖνιξ ἀνθήσει καὶ ὡσεὶ κέδρος ἡ ἐν τῷ Λιβάνῳ πληθυνθήσεται.*

Στ.: *Πεφυτευμένος ἐν τῷ οἴκῳ Κυρίου, ἐν ταῖς αὐλαῖς τοῦ Θεοῦ ἡμῶν ἐξανθήσει.*

Εὐαγγέλιον. Ἐκ τοῦ κατὰ Λουκᾶν (Κεφ. κα΄ 12-19): *Εἶπεν ὁ Κύριος τοῖς ἑαυτοῦ μαθηταῖς· Προσέχετε ἀπὸ τῶν ἀνθρώπων...*

Ὁ Ν' ψαλμός.

Δόξα: *Ταῖς τοῦ Ἀθλοφόρου...*

Καὶ νῦν: *Ταῖς τῆς Θεοτόκου...*

Ἰδιόμελον. Ἦχος πλ. β΄. Στ.: *Ἐλέησόν με ὁ Θεός…*

Πάντοτε δεόμενος πρὸς Κύριον, ἵνα λάβωμεν ἔλεος, καὶ χάριν εὕρωμεν εἰς εὔκαιρον βοήθειαν, μὴ διαλίπῃς πρεσβεύων ἀπαύστως Χριστῷ τῷ Θεῷ, παμμακάριστε Ἀπόστολε, ὑπὲρ τῶν σὲ ἀνυμνούντων, καὶ προσκυνούντων τὴν ἁγίαν κάραν σου.

Ὁ Κανὼν τοῦ Ἁγίου, οὗ ἡ ἀκροστιχίς: *Πάντας σε Μάρτυς, τοὺς γεραίροντας φίλει.*

*Ὠδὴ α’. Ἦχος δ’. Ἀνοίξω ταὸ στόμα μου.*

Παντοίοις χαρίσμασι, σὲ κατεκόσμησεν ἔνδοξε, τῆς δόξης ὁ Κύριος, στεῤῥῶς ἀθλήσαντα, καὶ στεφάνῳ σε, ἐστέψατω ὡραίῳ, Ἀπόστολε τίμιε· ὅθεν τιμῶμέν σε.

Ἁπάντων κατέπτυσας, τῶν δυσμενῶν τὴν κακόνοιαν, κηρύξας τὸν Κύριον, ἐν παῤῥησίᾳ δι’ ὅ, καὶ ζέοντι πόθῳ σου, τὴν μνήμην ἐκτελοῦμεν, Ἀπόστολε ἔνδοξε, ἡμῶν τὸ καύχημα.

Νικήσας τὸν δόλιον, τῇ πανοπλίᾳ τοῦ Πνεύματος, τὸ τρόπαιον ἔστησας, κατεναντίον αὐτοῦ· ὅθεν κράζομεν, τῆς τούτου κακουργίας, ἡμᾶς τοὺς τιμῶντάς σε, Μάρτυς ἀπάλλαξον.

*Θεοτοκίον.*

Ταχεῖα ἀντίληψις, ἡμῶν ὑπάρχεις Θεόνυμφε, καὶ μέγα κραταίωμα, τῶν ἀνυμνούντων Σε· δι’ ὃ κράζομεν· Παρθένε Παναγία, κινδύνων καὶ θλίψεων, πάντας ἀπάλλαξον.

*ᾨδὴ γ΄. Τοὺς Σοὺς ὑμνολόγους.*

Ἁπάντων Θεός τε καὶ Δεσπότης, Χριστὸς τῶν αἰώνων Βασιλεύς, τῆς γῆς σε ἀφελόμενος, εἰς οὐρανοὺς ἀνήγαγε, καθωραΐσας αἵματι, τοῦ μαρτυρίου Ἀπόστολε.

Σὲ μάκαρ Ἀπόστολε προστάτην, πατρίς σου πλουτοῦσα εὐσεβῶς, τὴν θείαν σου πανήγυριν, ἐπιτελοῦσα κράζει σοι· σύ μοι ὑπάρχεις καύχημα, καὶ ἀντιλήπτωρ πανόλβιε.

Σωζόμενοι Μάρτυς ταῖς λιταῖς σου, ὑμνοῦμεν Χριστὸν τὸν λυτρωτήν, λίαν σε ἐνισχύσαντα, νικῆσαι τὸν ἀλάστορα, καὶ τοὺς αὐτοῦ θεράποντας, μάκαρ Ἀπόστολε ἔνδοξε.

*Θεοτοκίον.*

Ἐλπὶς καὶ βεβαία προστασία, ὑπάρχεις πανάχραντε σεμνή, ἡμῶν θεοχαρίτωτε, παντοίας περιστάσεως, καὶ δυσμενῶν κακώσεων, ἡμᾶς ἀπάλλαξον Δέσποινα.

*Κάθισμα. Ἦχος α΄. Τὸν τάφον Σου Σωτήρ.*

Μαρτύρων χαρμονή, εὐσεβῶν τε λαμπρότης, ὡράθης φαεινέ, διὰ τοῦ μαρτυρίου, ὀφρὺν καὶ κακόνοιαν, καθελὼν τοῦ ἀλάστορος, πάντας ἤγειρας, ὑμνολογεῖν τὸν Σωτῆρα, τὸν σὲ δείξαντα, ἐν τοῖς ἐσχάτοις αἰῶσι, πανένδοξον Μάρτυρα.

*Δόξα. Καὶ νῦν. Τῆς Ἑορτῆς.*

Ὁ πάντιμος χορός, τῶν σοφῶν Ἀποστόλων, ἠθροίσθη θαυμαστῶς, τοῦ κηδεῦσαι ἐνδόξως, τὸ σῶμά σου τὸ ἄχραντον, Θεοτόκε Πανύμνητε, οἷς

συνύμνησαν, καὶ τῶν Ἀγγέλων τὰ πλήθη, τὴν Μετάστασιν, τὴν σὴν σεπτῶς εὐφημοῦντες, ἣν πίστει ἑορτάζομεν.

*ᾨδὴ δ'. Ὁ καθήμενος ἐν δόξῃ.*

Μακαρίως σὺ τὸν βίον Ἀθλοφόρε διήνυσας, λάμψας ἐν τῷ κόσμῳ, ταῖς τοῦ μαρτυρίου λαμπρότησι· δι' ὃ τελοῦντες τὴν μνήμην κραυγάζομεν· ῥῦσαι ἅπαντας, ταῖς πρὸς Θεὸν ἱκεσίαις σου.

Ἀποστόλων διατάξεις καὶ τὰ τούτων κηρύγματα, εὐσεβῶς δοξάζων, ἴχνεσι τῶν τούτων Ἀπόστολε, ἕπεσθαι μάκαρ ἐνδόξως κατηξίωσας· μεθ' ὧν πρέσβευε, ὑπὲρ ἡμῶν ἀξιάγαστε.

Ῥωμαλέος ἐν τοῖς ἄθλοις ὤφθης μάκαρ Ἀπόστολε, πάσας τῶν τυράννων, τὰς ἐρεσχελίας θαυμάσιε, καὶ ὑποσχέσεις ἀνδρείως ἐμυκτήρισας· δι' ὃ πάντες σε, πόθῳ τιμῶμεν θαυμάσιε.

*Θεοτοκίον.*

Τεῖχος πέλεις τῶν παρθένων Παναγία θεόνυμφε, φύλαξ τῶν ἐν πίστει, ἀνυμνολογούντων Σε ἄχραντε· δι' ὃ τοὺς πόθῳ τιμῶντάς σε περίσωζε, πάσης θλίψεως, καὶ ὀδυνῶν καὶ κακώσεων.

*ᾨδὴ ε'. Ἐξέστη τὰ σύμπαντα.*

Ὑμνοῦντάς σε ἔνδοξε, καὶ ἐκτελοῦντας πόθῳ σου, ἄθλησιν τὴν ἔνθεον παμμάκαρ, καὶ τὸν Σωτῆρα φόβῳ δοξάζοντας, ῥῦσαι ταῖς πρεσβείαις σου παντός, ἐναντίου πτώματος, ὦ Ἀπόστολε τάχιον.

Σιὼν ἡ οὐράνιος, λαμπρῶς σε ὑπεδέξατο, φέγγει διαλάμποντα τῶν ἄθλων, καὶ μαρτυρίου καλλωπιζόμενον, στίγμασιν ἐν πίστει ἀκλινεῖ· ὅθεν σε δοξάζομεν, ὦ Ἀπόστολε ἔνδοξε.

Τὰ τάγματα Ἅγιε, τῶν Ἀσωμάτων ὕμνησαν, πόθῳ τε καὶ δέει τὸν Δεσπότην, ἐν τοῖς ἀγῶσι τὸν ἐνισχύσαντα, σὲ καταβαλεῖν τῶν δυσμενῶν, μηχανὰς καὶ ἔνεδρα, ὡς ἀθύρματα ἔνδοξε.

Ὁ Λόγος πανένδοξε, Θεοῦ ὁ ὑπερούσιος, εἰδὼς τῆς ψυχῆς σου τὸ ὡραῖον, σὲ ἐκ τοῦ κόσμου πρὸς τὰ οὐράνια, ἀνήγαγε Μάρτυς θαυμαστῶς, διὰ τῆς ἀθλήσεως, ὦ Ἀπόστολε ἔνδοξε.

*Θεοτοκίον.*

Ὑμνοῦντά Σε πάντιμε, εὐλογημένη Δέσποινα, Τάγματα Ἀγγέλων γηθοσύνως, ἀναβοῶσι· χαῖρε Θεόνυμφε, μόνη τὸν Θεὸν ὑπερφυῶς, τέξασα πανάσπιλε, Παρθενομῆτορ θεόνυμφε.

*Ὠδὴ στ᾽. Τὴν θείαν ταύτην.*

Σοφίαν λόγον καὶ δύναμιν, ὑμνῶν πανευσεβῶς τοῦ Θεοῦ ἡμῶν, μάκαρ Ἀπόστολε, ἀνεπτερώθης πρὸς ἄληκτον, καὶ μακαρίαν λῆξιν, διὰ τοῦ αἵματος.

Γεραίρει ἔνδοξε ἅπασα, χορεία τῶν πιστῶν τοὺς ἀγῶνάς σου, μάκαρ Ἀπόστολε, καὶ εὐσεβῶς ἀνακράζει σοι· ταῖς πρὸς Χριστὸν λιταῖς σου, πάντας περίσωζε.

Ἔστη οὐράνιος ἔλλαμψις, ἀθλήσαντι νομίμως Ἀπόστολε, σταυροῦ ἐν σχήματι, λαμπρῶς τοῖς πᾶσι

δεικνύουσα, τὴν εἰς τὰ ἄνω μάκαρ, δόξαν σοι ἄληκτον.

*Θεοτοκίον.*

Ῥυσθέντες Κόρη τῷ τόκῳ Σου, ὑμνοῦμέν Σε ἀπαύστως θεόνυμφε, πίστει κραυγάζοντες, καὶ τῶν δεινῶν νῦν ἀπάλλαξον, ἅπαντας Παναγία, ἡ μόνη ἄχραντος.

*Κοντάκιον. Ἦχος δ’. Ἐπεφάνης σήμερον.*

Ἑορτὴν τὴν εὔσημον, τοῦ Ἀποστόλου, ἐκτελοῦσα βόησον, πατρὶς αὐτοῦ χαρμονικῶς· σὲ ἀνυμνῶ τὸν Σωτῆρά μου, καράν αὐτοῦ νῦν ἡμῖν δωρησάμενον.

*Ὁ Οἶκος.*

Λατρείαν πᾶσαν εὐσεβῶς, προσκύνησίν τε ἐν πίστει, μετὰ δέους εἰλικρινῶς, ἐκ μυχοῦ τῆς καρδίας τὰ στίφη πάντα τῶν πιστῶν, τῷ μόνῳ προσοίσωμεν πρυτάνει Θεῷ, ἐν τοῖς ἐσχάτοις αἰῶσι, Μάρτυρα ἀναδείξαντα, Ἀπόστολον τὸν ἔνδοξον, πάσας τὰς τῶν τυράννων καθελόντα ἐπάρσεις, εὐπαῤῥησιάστως δὲ τὴν εἰλικρινῆ τοῦ Χριστοῦ κηρύξαντα πίστιν, καὶ στέφει ἐν οὐρανοῖς παρὰ Θεοῦ στεφθέντα, σὺν ᾠδαῖς κραυγάζοντες, ἐν πίστει δοξάζομεν σὲ τὸν μόνον κραταιόν, κάραν αὐτοῦ νῦν ἡμῖν δωρησάμενον.

*Συναξάριον.*

Τῇ ΙΣΤ' Αὐγούστου, μνήμη τοῦ Ἁγίου Μάρτυρος Ἀποστόλου τοῦ νέου, τοῦ ἐκ τῆς κωμοπόλεως Ἁγίου

Λαυρεντίου καὶ ἐν Κωνσταντινουπόλει ἀθλήσαντος, ἐν ἔτει 1686.

*Ἀπῆρας ὄντως εἰς μονὰς τῶν Ἀγγέλων,*
*Πτεροῖς ἀγώνων φαίδιμος λίαν μάκαρ.*
*Εἰς Οὔλυμπον ἄειραν ἴφθιμον νέον φαέθοντα.*

*ᾨδὴ ζ'. Οὐκ ἐλάτρευσαν.*

Ἄνω ἔνδοξε τοῦ θαλαττίου ῥεύματος τὸ σὸν διήγετο, σαρκίον Μάρτυς Χριστοῦ, ἐμφαῖνον τὴν ἄνω σοι χάριν Ἀπόστολε· δι' ἧς ἅπαντας, διατηρεῖς τοὺς ᾄδοντας, ὁ Θεὸς εὐλογητὸς εἶ.

Ἱκεσίας τῶν ὑμνούντων σε Ἀπόστολε, πρόσδεξαι Ἅγιε, παρέχων Μάρτυς σοφέ, πιστοῖς τὰ αἰτήματα, καὶ ἀνακράζουσιν· ὑπερύμνητε, ὁ τῶν Πατέρων Κύριος, καὶ Θεὸς εὐλογητὸς εἶ.

Ῥήσεις ἔνδοξε, καὶ δόγματα τὰ ἔνθεα, τιμῶν θεόληπτε, τῶν Ἀποστόλων Χριστοῦ, τῆς τούτων ἠξίωσαι μακαριότητος, κράζων Ἅγιε· ὁ τῶν Πατέρων Κύριος, καὶ Θεὸς εὐλογητὸς εἶ.

*Θεοτοκίον.*

Ὁ τῶν ὅλων Ποιητὴς πανάχραντε Σὲ ἐξελέξατο, τῶν γενεῶν ἁπασῶν, μητέρα δεξάμενος Αὐτοῦ πανέντιμε, ᾯ κραυγάζομεν· ὁ τῶν Πατέρων Κύριος, καὶ Θεὸς εὐλογητὸς εἶ.

*ᾨδὴ η'. Παῖδας εὐαγεῖς.*

Νόες σε ἐδέξαντο παμμάκαρ, ἐν ὕψει τῶν οὐρανῶν κλεινὲ Ἀπόστολε, κάλλει διαλάμποντα, τῷ τοῦ

μαρτυρίου σου, καὶ εὐχαρίστως κράζοντα ἐν εὐφροσύνῃ ψυχῆς· τὸν Κύριον, ὑμνεῖτε τὰ ἔργα, καὶ ὑπερυψοῦτε, εἰς πάντας τοὺς αἰῶνας.

Τάγματα Μαρτύρων ἐν ὑψίστοις, σὲ μάκαρ ὑψούμενον ἠσπάσαντο, ὡς αὐτῶν συνόμιλον, δρόμον τὸν οὐράνιον, τετελευκότα Ἅγιε, καὶ ἀνακράζοντα· τὸν Κύριον, ὑμνεῖτε τὰ ἔργα, καὶ ὑπερυψοῦτε, εἰς πάντας τοὺς αἰῶνας.

Ἅπασα πατρίς σου ἡ τιμία, ἐνθέως πανηγυρίζουσα νυνί, συγκαλεῖται ἅπαντας, πρὸς τὴν σὴν πανήγυριν, ὑμνοῦντας ὡς ἀήττητον σὲ παναοίδιμε, καὶ κράζοντας· τὸν Κτίστην ἀνυμνεῖτε, καὶ ὑπερυψοῦτε, εἰς πάντας τοὺς αἰῶνας.

*Θεοτοκίον.*

Ῥῆξον τοὺς χειμάῤῥους τῶν παθῶν μου, καρδίαν τὴν ταπεινήν μου κατακλύζοντας· θεῖον πρὸς λιμένα με, ὅρμισον πανάμωμε, ἵνα ὑμνῶ Σε πάντοτε τὴν ὑπερύμνητον, καὶ χαῖρέ Σοι, κραυγάζω ἐν πίστει· δι' ἧς κατηυγάσθη, τὸ γένος τῶν ἀνθρώπων.

*ᾨδὴ θ'. Ἅπας γηγενής.*

Φέγγει τῶν σεπτῶν, ἀγώνων σου ἔνδοξε τὴν βασιλεύουσαν, ἔλαμψας Ἀπόστολε, κενώσας αἷμα τὸ σὸν θαυμάσιε, ἐν τῷ ἐδάφει τὸ εὔγεων αὐτῆς πανάριστε, ἁγιάσας, ταύτην τῇ ἀθλήσει σου, τιμᾷ δε σου αὐτὴ τὸ μαρτύριον.

Ἵνα σου πιστοί, τιμῶμεν τὴν ἄθλησιν Μάρτυς Ἀπόστολε, σῷζε πάντας νῦν ἡμᾶς, παντοίας βλάβης

καὶ περιστάσεως, τῆς οὐρανίου ἔνδοξε καταξιῶν χαρμονῆς, ἀνυμνοῦντας, Χριστὸν τὸν φιλάνθρωπον, Ὃν ἀεὶ ὑπὲρ πάντων ἱκέτευε.

Λίαν σὲ Χριστοῦ, ὡς Μάρτυρα ἔνδοξον ὑμνῶ δεόμενος, τόδε μοι ἐφύμνιον, πρόσδεξαι Μάρτυς ἀντιπαρέχων μοι, ἁμαρτημάτων ἄφεσιν ταῖς ἱκεσίαις σου, ἀφαρπάζων, τῆς ἐκεῖ κολάσεως, καὶ δεινῶν αἰωνίων Ἀπόστολε.

*Θεοτοκίον.*

Εἵλκυσεν ἡ Σή, λαμπρότης πανύμνητε ἡ ὑπερύμνητος, σάρκα παρὰ Σοῦ λαβεῖν, Θεὸν τῶν ὅλων Κόρη πανάχραντε, τοῦ σῶσαι τὸ ἀνθρώπινον τῶν παραπτώσεων· δι᾽ ὃ πάντες, Σὲ ὑμνοῦμεν Δέσποινα, ὡς Μητέρα Θεοῦ παναμώμητον.

*Ἐξαποστειλάριον. Γυναῖκες ἀκουτίσθητε.*

Πιστῶν πορεία ἅπασα, τεμένει τῷ τοῦ Μάρτυρος, ἐνθέως συναθροισθεῖσα, ἀγῶνας τοῦ Ἀθλοφόρου, θεασαμένη βόησον, Χριστὲ ἁπάντων λύτρωσις, λιταῖς τοῦ Ἀποστόλου Σου, τοῦ σὲ κηρύξαντος κόσμῳ, πάντας διάσωσον Λόγε.

*Ἐξαποστειλάριον τῆς Ἑορτῆς*
*Ἦχος γ' Ὁ οὐρανὸν τοῖς ἄστροις*

Ἀπόστολοι ἐκ περάτων, συναθροισθέντες ἐνθάδε, Γεθσημανῇ τῷ χωρίῳ, κηδεύσατέ μου τὸ σῶμα, καὶ σὺ Υἱὲ καὶ Θεέ μου, παράλαβέ μου τὸ πνεῦμα.

*Αἶνοι. Ἦχος α’. Τῶν οὐρανίων ταγμάτων.*

Ἐν τῷ σταδίῳ παμμάκαρ πόθῳ ἐκραύγαζες, Χριστὸς ὑπάρχει μόνος, ὁ Θεὸς τῶν ἁπάντων, Πατρὶ σὺν τῷ ἀνάρχῳ καὶ τοῦ αὐτοῦ, συναϊδίῳ τε Πνεύματι, οὗ τῇ ἰσχύϊ ῥωννύμενος ὡς οὐδέν, τὴν ἡμῶν ἡγοῦμαι δύναμιν.

Τῷ ὄντι μία ὑπάρχει πίστις ἡ ἔνθεος, Χριστιανῶν ἐβόας, ὦ Ἀπόστολε πόθῳ, ἥνπερ νῦν κηρύττων Ἀγαρηνοί, καὶ φαιδρῶς σφαγιάζομαι, ὑπὲρ αὐτῆς καὶ ἐπίγνωσιν ἀληθῆ, ἣν ὡς μόνην προσκυνήσατε.

Ἡ Κωνσταντίνου ἀγάλλου πόλις ἐν ᾄσμασιν, ὑμνοῦσα τὸν Σωτῆρα, ἐνισχύσαντα πάνυ, τὸν νέον Ἀθλοφόρον καταβαλεῖν, δυσμενῶν τὰ φρυάγματα, καὶ ἐναθλῆσαι προθύμως ὑπὲρ αὐτοῦ, τὸν Ἀπόστολον τὸν ἔνδοξον.

Τοῦ Λαυρεντίου ἡ κώμη λίαν εὐφράνθητι, πατρὶς ἡ τοῦ Ἁγίου, εὐσεβῶς Ἀποστόλου, πλουτοῦσα τὸν ἐκ ταύτης θεοπρεπῶς, ἀνατείλαντα Μάρτυρα, πρὸς τὸν Θεὸν τῶν ἁπάντων πρέσβυν θερμόν, ὃν τιμῶντες ἑορτάζομεν.

*Δόξα. Ἦχος πλ. α΄.*

Τὸν ἀριστέα τοῦ Χριστοῦ, Ἀπόστολον τὸν ἀοίδιμον, ἐν ὄψεσι τυράννων ἀσεβῶν, τὸ πανσέβαστον τοῦ Δεσπότου, ἐν τῇ τῶν πόλεων ἀνάσσῃ κηρύξαντα ὄνομα. Νομίμως τε ὑπὲρ αὐτοῦ ἀθλήσαντα, καὶ ἐν οὐρανοῖς ἐνθέως στεφθέντα, χειρὶ τοῦ παντάνακτος· ὑμνήσωμεν συμφώνως ἐν ᾄσμασι, παῤῥησίαν γὰρ πρὸς Κύριον κεκτημένος, πρεσβεύει ὑπὲρ ἡμῶν, τῶν

πιστῶς ἐκτελούντων, τὴν ἱερὰν αὐτοῦ καὶ φωτοφόρον πανήγυριν.

*Καὶ νῦν. Τῆς Ἑορτῆς.*

Ἄσατε λαοί, τῇ Μητρὶ τοῦ Θεοῦ ἡμῶν ᾄσατε· σήμερον γὰρ τὴν ὁλόφωτον ψυχὴν αὐτῆς, εἰς τὰς ἀχράντους παλάμας, τοῦ ἐξ αὐτῆς σαρκωθέντος ἄνευ σπορᾶς, παρατίθησιν, ᾧ καὶ πρεσβεύει ἀδιαλείπτως, δωρηθῆναι τῇ οἰκουμένῃ εἰρήνην, καὶ τὸ μέγα ἔλεος.

*Δοξολογία Μεγάλη καὶ Ἀπόλυσις.*

*Μεγαλυνάριον.*

Χαίροις Ἐκκλησίας νέος ἀστήρ, καὶ τῆς Λαυρεντίου, κωμοπόλεως ἀῤῥωγός· χαίροις ὁ τὸ αἷμα, ὑπὲρ Χριστοῦ ἐκχέας, Ἀπόστολε παμμάκαρ, πιστῶν βοήθεια.

